Νάστης αὖ Καρῶν: ὅτι Θουκυδίδης λέγει τὴν ὀνομασίαν τῶν βαρβάρων [illegible] ἐκλείπειν:–

Φθειρῶν ὄρος: τῆς Καρίας περὶ Μίλητον, διὰ τὸ πολλὰς ἔχειν πίτυς· οἱ γὰρ ποιηταὶ τῶν πιτύων φθεῖρας προσαγορεύουσιν. οἱ δὲ ὅτι τὸ τῶν πιτύων μικρὸν [illegible], οὕτως ὀνομάζονται, ἃ καὶ πιτυοκάμπας φασίν. ἢ ἀπὸ Φθειρὸς τοῦ Ἐνδυμίωνος:–

Μαιάνδρου τε ῥοάς: Μαίανδρος ποταμὸς ἀρχόμενος ἀπὸ Φρυγίας ἐκβάλλει εἰς τὴν κατὰ Καρίαν θάλασσαν πλησίον Μιλήτου [illegible]:–

οἳ καὶ Μῄονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας·

Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων

οἳ Μίλητον ἔχον, Φθειρῶν τ' ὄρος ἀκριτόφυλλον

Μαιάνδρου τε ῥοάς, Μυκάλης τ' αἰπεινὰ κάρηνα·

τῶν μὲν ἄρ' Ἀμφίμαχος καὶ Νάστης ἡγησάσθην·

Νάστης Ἀμφίμαχός τε, Νομίονος ἀγλαὰ τέκνα·

ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠΰτε κούρη

νήπιος· οὐδέ τί οἱ τόγ' ἐπήρκεσε λυγρὸν ὄλεθρον·

ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο

ἐν ποταμῷ· χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων.

Σαρπηδὼν δ' ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύμων

τηλόθεν ἐκ Λυκίης Ξάνθου ἄπο δινήεντος.

ὃς καὶ χρυσὸν ἔχων: ὅτι ἔστι τὸν Ἀμφίμαχον· ὅτι τὸ ὃς καὶ χρυσὸν ἔχων [illegible] τοῦ Νάστου λέγει καὶ ὅτι οὐ λέγει ὅπλα αὐτὸν ἔχειν χρυσᾶ [illegible] ἀλλὰ κόσμον χρυσοῦν [illegible] ἠΰτε κούρη [illegible] πλοχμοί θ' οἳ χρυσῷ τε καὶ [illegible]:–

Ξάνθου ἄπο δινήεντος: πᾶσα πρόθεσις [illegible] κυρίου καὶ [illegible] κατὰ δὲ Ἀρίσταρχον [illegible]:–

† παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως. τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τοῦ Νικάνορος περὶ στιγμῆς:

Γάμμα δ᾽ ἄρ᾽ ἀμφ᾽ Ἑλένης οἴοις μόθος ἐστὶν ἀκοίταις

[illegible]

ΙΛΙΑΔΟΣ Γ

Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ᾽ ἡγεμόνεσσιν ἕκαστοι,
Τρῶες μὲν κλαγγῇ τ᾽ ἐνοπῇ τ᾽ ἴσαν ὄρνιθες ὥς·
ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό·
αἵ τ᾽ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον,
κλαγγῇ ταί γε πέτονται ἐπ᾽ ὠκεανοῖο ῥοάων
ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι·
ἠέριαι δ᾽ ἄρα ταί γε κακὴν ἔριδα προφέρονται.
οἳ δ᾽ ἄρ᾽ ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.
εὖτ᾽ ὄρεος κορυφῇσι νότος κατέχευεν ὀμίχλην
ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω,
τόσσον τίς τ᾽ ἐπιλεύσσει ὅσον τ᾽ ἐπὶ λᾶαν ἵησιν·
ὣς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὄρνυτ᾽ ἀελλής
ἐρχομένων· μάλα δ᾽ ὦκα διέπρησσον πεδίοιο.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Τρωσὶν μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδής
παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα
καὶ ξίφος· αὐτὰρ ὃ δοῦρε δύω κεκορυθμένα χαλκῷ
πάλλων Ἀργείων προκαλίζετο πάντας ἀρίστους
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι.
τὸν δ᾽ ὡς οὖν ἐνόησεν ἀρηΐφιλος Μενέλαος
ἐρχόμενον προπάροιθεν ὁμίλου μακρὰ βιβάντα,
ὥς τε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας
εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
πεινάων· μάλα γάρ τε κατεσθίει, εἴ περ ἂν αὐτὸν

[illegible]

[illegible]

[illegible]

σεύονται ταχέες κύνες θαλεροί τ' αἰζηοί·
ὣς ἐχάρη Μενέλαος Ἀλέξανδρον θεοειδέα
ὀφθαλμοῖσιν ἰδών· φάτο γὰρ τίσεσθαι ἀλείτην·
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε·
τὸν δ' ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοειδὴς
ἐν προμάχοισι φανέντα, κατεπλήγη φίλον ἦτορ·
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη
οὔρεος ἐν βήσσῃς, ὑπό τε τρόμος ἔλλαβε γυῖα·
ἂψ δ' ἀνεχώρησεν· ὦχρός τέ μιν εἷλε παρειάς·
ὣς αὖτις καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων
δείσας Ἀτρέος υἱὸν Ἀλέξανδρος θεοειδής.
τὸν δ' Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσι·
Δύσπαρι· εἶδος ἄριστε· γυναιμανὲς ἠπεροπευτά·
αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι· ἄγαμός τ' ἀπολέσθαι·
καί κε τὸ βουλοίμην· καί κεν πολὺ κέρδιον ἦεν
ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων·
ἦ που καγχαλόωσι κάρη κομόωντες Ἀχαιοὶ
φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν
εἶδος ἔπ'· ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή·
ἦ τοιόσδε ἐὼν ἐν ποντοπόροισι νέεσσι
πόντον ἐπιπλώσας· ἑτάρους ἐρίηρας ἀγείρας·
μιχθεὶς ἀλλοδαποῖσι· γυναῖκ' εὐειδέ' ἀνῆγες
ἐξ ἀπίης γαίης· νυὸν ἀνδρῶν αἰχμητάων·
πατρί τε σῷ μέγα πῆμα· πόληΐ τε παντί τε δήμῳ·

[illegible]

κακῶν ἕνεχ' ὅσσα ἔοργας: [illegible]

κίθαρις: [illegible]

ἕσσο χιτῶνα: [illegible]

Ἕκτορ ἐπεί με κατ' αἶσαν: [illegible]

μή μοι δῶρ' ἐρατὰ πρόφερε: [illegible]

δυσμενέσιν μὲν χάρμα, κατηφείη δὲ σοὶ αὐτῷ·
οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον μενέλαον·
γνοίης χ' οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν·
οὐκ ἄν τοι χραίσμῃ κίθαρις, τά τε δῶρ' ἀφροδίτης·
ἥ τε κόμη τό τε εἶδος ὅτ' ἐν κονίῃσι μιγείης·
ἀλλὰ μάλα τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη
λάϊνον ἕσσο χιτῶνα κακῶν ἕνεχ' ὅσσα ἔοργας·
τὸν δ' αὖτε προσέειπεν ἀλέξανδρος θεοειδής·
ἕκτορ· ἐπεί με κατ' αἶσαν ἐνείκεσας, οὐδ' ὑπὲρ αἶσαν·
αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής·
ὅς τ' εἶσιν διὰ δουρὸς ὑπ' ἀνέρος ὅς ῥά τε τέχνῃ
νήϊον ἐκτάμνῃσιν· ὀφέλλει δ' ἀνδρὸς ἐρωήν·
ὣς σοὶ ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστί·
μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσῆς ἀφροδίτ(ης)·
οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα
ὅσσά κεν αὐτοὶ δῶσιν· ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο·
νῦν αὖτ' εἴ μ' ἐθέλεις πολεμίζειν ἠδὲ μάχεσθαι·
ἄλλους μὲν κάθισον τρῶας καὶ πάντας ἀχαιούς·
αὐτὰρ ἔμ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον μενέλαον
συμβάλετ' ἀμφ' ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθ(αι)·
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται
κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω·
οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες
ναίοιτε τροίην ἐριβώλακα· τοὶ δὲ νέεσθων
ἄργος ἐς ἱππόβοτον καὶ ἀχαιΐδα καλλιγύναικ(α)·

κατηφείη δὲ σοὶ αὐτῷ: [illegible]

ἀλλὰ μάλα τρῶες: [illegible]

ὣς σοὶ ἐνὶ στήθεσσιν: [illegible]

οὔτοι ἀπόβλητ': [illegible]

ὁππότερος δέ κε: [illegible]

ναίοιτε: [illegible]

ἱππόβοτον: [illegible]

ἰοῖσίν τε τιτυσκόμενοι: ὅτι ὅμηρος τὸ βάλλειν ἐπὶ τοῦ τιτρώσκειν τίθησι· νῦν δὲ ἔμφασιν ἔχει:—

ἴσχεσθ᾽ ἀργεῖοι: ὅτι τὸ βάλλετε ἀντὶ τοῦ τιτρώσκετε:—

στεῦται γάρ τι ἔπος: ὅτι τὸ στεῦται ἀντὶ τοῦ κατὰ διάνοιαν ὁρίζεται:—

αὐτὸν δ᾽ ἐν μέσσῳ· βραχὺ διασταλτέον· κοινὸν γὰρ τὸ κέλεται ῥῆμα:—

ὁππότερος δέ κε: ὅτι ζηνόδοτος γράφει χείρεσσιν ἀντὶ τοῦ κρείσσων· τὰ δὲ τοιαῦτα συνθετικά ἐστι τῆς ὀρθῆς τῶν προσλαμβάνεται:—

κέκλυτε νῦν· τὸ μοῦ περισσὸν καὶ παρέλκει παρὰ τῷ ποιητῇ:—

Ἀργείους καὶ Τρῶας: ὅτι ζηνόδοτος γράφει ἀργεῖοι καὶ τρῶες ὅσα ἀποστροφῆς τοῦ λόγου γινομένης πρὸς αὐτούς· ἀπίθανον δὲ τὸ διακρινθήμεν διχῶς χρεισθῆναι· ὁ ζηνόδοτος συνήθως ἡμῖν τέταχεν:—

ἕνεκ᾽ ἀρχῆς: ὅτι ζηνόδοτος γράφει ἕνεκ᾽ ἄτης· ἀληθὲς ἀπεὶ ἡ μενέλαος ὅτι αὐτὴ πεισθεῖσα ὁ ἀλέξανδρος· διαμαρτύρεται τοῦ ἕνεκ᾽ ἀρχῆς· ἐν ᾧ δὴ κεῖνται ὅτι προκατῆρξεν:—

ὣς ἔφαθ᾽· ἕκτωρ δ᾽ αὖτ᾽ ἐχάρη μέγα μῦθον ἀκούσας·
καί ῥ᾽ ἐς μέσσον ἰὼν· τρώων ἀνέεργε φάλαγγας·
τῷ δ᾽ ἐπετοξάζοντο κάρη κομόωντες ἀχαιοὶ
ἰοῖσίν τε, τιτυσκόμενοι· λάεσσί τ᾽ ἔβαλλον·
αὐτὰρ ὁ μακρὸν ἄϋσεν ἄναξ ἀνδρῶν ἀγαμέμνων·
ἴσχεσθ᾽ ἀργεῖοι· μὴ βάλλετε κοῦροι ἀχαιῶν·
στεῦται γάρ τι ἔπος ἐρέειν κορυθαίολος ἕκτωρ·
ὣς ἔφαθ᾽· οἱ δ᾽ ἔσχοντο μάχης ἄνεῳ τ᾽ ἐγένοντο
ἐσσυμένως· ἕκτωρ δὲ μετ᾽ ἀμφοτέροισιν ἔειπεν·
κέκλυτέ μευ τρῶες καὶ ἐϋκνήμιδες ἀχαιοὶ
μῦθον ἀλεξάνδροιο· τοῦ εἵνεκα νεῖκος ὄρωρεν·
ἄλλους μὲν κέλεται τρῶας καὶ πάντας ἀχαιοὺς
τεύχεα καλ᾽ ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ.
αὐτὸν δ᾽ ἐν μέσσῳ καὶ ἀρηΐφιλον μενέλαον
οἴους ἀμφ᾽ ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι·
ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται·
κτήματ᾽ ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ᾽ ἀγέσθω·
οἱ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ τάμωμεν·
ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς μενέλαος·
κέκλυτε νῦν καὶ ἐμεῖο· μάλιστα γὰρ ἄλγος ἱκάνει
θυμὸν ἐμόν· φρονέω δὲ διακρινθήμεναι ἤδη
ἀργείους καὶ τρῶας· ἐπεὶ κακὰ πολλὰ πέποσθε
εἵνεκ᾽ ἐμῆς ἔριδος· καὶ ἀλεξάνδρου ἕνεκ᾽ ἀρχῆς·
ἡμέων δ᾽ ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται·

διακρινθεῖτε τάχιστα: οὕτως προπερισπᾶται· ἔστι γὰρ εὐκτικὸν κατὰ παθος ... ὁμοίως τὸ καὶ ποθὲν ... πάλιν πρὸς τὰ διακρινθείημεν καὶ διακρινθεῖμεν ... ὡς διακοσμηθεῖμεν ἀχαιοί:–

ἕτερον λευκὸν ἑτέρην δὲ μέλαιναν· τὰ οἰκεῖα ἑκάστῳ θεῷ ἱερουργοῦμεν ... ἡ γῆ μέλαινα καὶ θήλεια ἐστὶ τοιαύτη ἡ θεός. ... ἡμεῖς ἄλλον κοινῶς ... ἐστὶ καὶ ξενικὸς προσφορεύεται. ἑλληνικῶς ἐστὶ μὲν τοῖν δυοῖν τὸ ἕτερον τοῖς ἑτέροις ἀντὶ δὲ ... τοῦ τρίτου ἄλλον εἴρηκεν:–

οἴσετε δ' ἄρν': πρὸς τὸ οἴσετε ... ὅτι οὐ μέλλοντός ἐστι χρόνου ἀλλ' ἀντὶ τοῦ φέρετε ἀπὸ τοῦ οἶσαι ... :–

γῇ τε καὶ ἠελίῳ· ὅτι ἑλληνικῶς ἐστὶ μὲν τοῖν δυοῖν τὸ ἕτερον τοῖς ἑτέροις ἀντὶ δὲ ... τοῦ τρίτου ἄλλον εἴρηκε:–

τεθναίη· ἄλλοι δὲ διακρινθεῖτε τάχιστα.
οἴσετε δ' ἄρν', ἕτερον λευκὸν ἑτέρην δὲ μέλαιναν
γῇ τε καὶ ἠελίῳ· διὶ δ' ἡμεῖς οἴσομεν ἄλλον·
ἄξετε δὲ πριάμοιο βίην, ὄφρ' ὅρκια τάμνῃ
αὐτός· ἐπεί οἱ παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι·
μή τις ὑπερβασίῃ διὸς ὅρκια δηλήσηται.
αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
λεύσσει ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται.
ὣς ἔφατ'· οἱ δ' ἐχάρησαν ἀχαιοί τε τρῶές τε
ἐλπόμενοι παύσασθαι ὀϊζυροῦ πολέμοιο.
καί ῥ' ἵππους μὲν ἔρυξαν ἐπὶ στίχας· ἐκ δ' ἔβαν αὐτοί·
τεύχεά τ' ἐξεδύοντο· τὰ μὲν κατέθεντ' ἐπὶ γαίῃ
πλησίον ἀλλήλων· ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα.
ἕκτωρ δὲ προτὶ ἄστυ δύω κήρυκας ἔπεμπε
καρπαλίμως· ἄρνας τε φέρειν, πρίαμόν τε καλέσσαι·
αὐτὰρ ὁ ταλθύβιον προΐει κρείων ἀγαμέμνων
νῆας ἔπι γλαφυρὰς ἰέναι· ἠδ' ἄρν' ἐκέλευεν
οἰσέμεναι· ὁ δ' ἄρ' οὐκ ἀπίθησ' ἀγαμέμνονι δίῳ.
ἶρις δ' αὖθ' ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν
εἰδομένη γαλόῳ ἀντηνορίδαο δάμαρτι·
τὴν ἀντηνορίδης εἶχε κρείων ἑλικάων
λαοδίκην πριάμοιο θυγατρῶν εἶδος ἀρίστην·
τὴν δ' εὗρ' ἐν μεγάρῳ· ἡ δὲ μέγαν ἱστὸν ὕφαινε
δίπλακα μαρμαρέην· πολέας δ' ἐνέπασσεν ἀέθλους

οἷς δ' ὁ γέρων μετέῃσιν ἅμα πρόσσω καὶ ὀπίσσω: ὑπερβατικῶς· ὅτοις μετέῃσιν καὶ ὀπίσσω καὶ μετ' ... προτέρα τοιοῦτον ποιεῖ τὸν λόγον· τὰ παρόντα καὶ τὰ ... ὅπως ἐν ἀμφοτέροις ἄριστα πράξῃ. ἡ δὲ ἑτέρα ... οἷς δ' ἂν παρῇ πρεσβύτης ... τὸ παρὸν καὶ εἰς ... παντοτε:–

αἰεὶ δ' ὁπλοτέρων: ἀπὸ τούτου ... ἀπολογία ἐστὶ ... αὕτη ὑπὲρ τῶν παρανομούντων πριαμιδῶν. εἰ γὰρ κατὰ κοινοῦ αἱ φρένες τῶν νέων κρέμανται, οὐδὲν ξένον ἁμαρτήματα πεποιήκασι:–

καρπαλίμως· οὕτως συναπτέον καρπαλίμως ἄρνας φέρειν ... τὸ γὰρ φέρειν ταχέως ... ἔστι ... τὸ καρπαλίμως:–

εἰδομένη γαλόῳ: ... ἀντὶ τοῦ ... :–

δίπλακα μαρμαρέην· καὶ αἱ ἀριστάρχου καὶ ἡ ζηνοδότου καὶ ἡ ἀριστοφάνους πορφυρέην εἶχον· οὐ μαρμαρέην καὶ ἔστι πρεσβύτερον· καὶ γὰρ ἐπὶ τῶν νυμφῶν φορεῖ ... πορφύρα:–

τὴν δ' εὗρ' ἐν μεγάρῳ: ἐν θαλάμῳ ... χηρεύουσα καὶ παρθένον ...

δίπλακα μαρμαρέην· καὶ αἱ ἀριστ. καὶ ἡ ζηνοδότου καὶ ἡ ἀριστοφ. πορφυρέην εἶχον ... ἐπὶ τῶν νυμφῶν ... πορφύρα:–

ὃν ἕθεν· [illegible]

πολύδακρυν Ἄρηα· [illegible]

πόλεμος δὲ πέπαυται· [illegible]

Αἴθρη Πιτθῆος θυγάτηρ· [illegible]

Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων·
οὓς ἕθεν εἵνεκ' ἔπασχον ὑπ' Ἄρηος παλαμάων·
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
δεῦρ' ἴθι νύμφα φίλη, ἵνα θέσκελα ἔργα ἴδηαι
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων·
οἳ πρὶν ἐπ' ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα
ἐν πεδίῳ, ὀλοοῖο λιλαιόμενοι πολέμοιο.
οἳ δὴ νῦν ἕαται σιγῇ· πόλεμος δὲ πέπαυται·
ἀσπίσι κεκλιμένοι· παρὰ δ' ἔγχεα μακρὰ πέπηγεν·
αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηΐφιλος Μενέλαος
μακρῇς ἐγχείῃσι μαχήσονται περὶ σεῖο·
τῷ δέ κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις.
ὣς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ
ἀνδρός τε προτέροιο· καὶ ἄστεος ἠδὲ τοκήων·
αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν·
ὁρμᾶτ' ἐκ θαλάμοιο· τέρεν κατὰ δάκρυ χέουσα
οὐκ οἴη· ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο
Αἴθρη Πιτθῆος θυγάτηρ· Κλυμένη τε βοῶπις·
αἶψα δ' ἔπειθ' ἵκανον ὅθι Σκαιαὶ πύλαι ἦσαν·
οἱ δ' ἀμφὶ Πρίαμον· καὶ Πάνθοον· ἠδὲ Θυμοίτην·
Λάμπον τε· Κλυτίον θ'· Ἱκετάονά τ' ὄζον Ἄρηος
Οὐκαλέγων τε καὶ Ἀντήνωρ· πεπνυμένω ἄμφω·
εἵατο δημογέροντες ἐπὶ Σκαιῇσι πύλῃσιν·
γήραϊ δὴ πολέμοιο πεπαυμένοι· ἀλλ' ἀγορηταὶ
ἐσθλοί· τεττίγεσσιν ἐοικότες, οἵ τε καθ' ὕλην

οὐκ οἴη· [illegible]

Σκαιαὶ πύλαι· [illegible]

Αἴθρη Πιτθῆος θυγάτηρ· [illegible]

τεττίγεσσιν· [illegible]

τεττίγεσσιν· [illegible]

[illegible] Ἥκα προσάλλήλους [illegible]

[illegible]

δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσιν·
τοῖοι ἄρα Τρώων ἡγήτορες ἧντ' ἐπὶ πύργῳ.
οἳ δ' ὡς οὖν εἴδονθ' Ἑλένην ἐπὶ πύργον ἰοῦσαν,
ἦκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον·
οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν·
ἀλλὰ καὶ ὣς τοίη περ ἐοῦσ' ἐν νηυσὶ νεέσθω,
μηδ' ἡμῖν τεκέεσσί τ' ὀπίσσω πῆμα λίποιτο.
ὣς ἄρ' ἔφαν· Πρίαμος δ' Ἑλένην ἐκαλέσσατο φωνῇ·
δεῦρο πάροιθ' ἐλθοῦσα φίλον τέκος ἵζευ ἐμεῖο,
ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε·
οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν,
οἵ μοι ἐφώρμησαν πόλεμον πολύδακρυν Ἀχαιῶν·
ὥς μοι καὶ τόνδ' ἄνδρα πελώριον ἐξονομήνῃς,
ὅς τις ὅδ' ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε.
ἤτοι μὲν κεφαλῇ καὶ μείζονες ἄλλοι ἔασιν·
καλὸν δ' οὕτως ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν,
οὐδ' οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικεν.
τὸν δ' Ἑλένη μύθοισιν ἀμείβετο δῖα γυναικῶν·
αἰδοῖός τέ μοί ἐσσι φίλε ἑκυρὲ δεινός τε·
ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακὸς ὁππότε δεῦρο
υἱέϊ σῷ ἑπόμην, θάλαμον γνωτούς τε λιποῦσα
παῖδά τε τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν.
ἀλλὰ τά γ' οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα.

Οὐ νέμεσις Τρῶας: [illegible]

Ἔοικεν: [illegible]

Μηδ' ἡμῖν τεκέεσσιν: [illegible]

Ὥς μοι καὶ τόνδ' ἄνδρα: [illegible]

Παῖδά τε τηλυγέτην: [illegible]

Δενδρέῳ ἐφεζόμενοι: [illegible]

Ἧκα πρὸς ἀλλήλους: [illegible]

ἀμφότερον: [illegible]

δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος: [illegible]

ὀλβιόδαιμον: [illegible]

δεδμήατο: ἡ μεταφορὰ ἀπὸ τῶν [illegible]

καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐών: [illegible]

Ἀμαζόνες ἀντιάνειραι: [illegible]

ἤδη καὶ φρυγίην: [illegible]

πηγεσιμάλλῳ: μεγαλόμαλλος [illegible]

τοῦτο δέ τοι ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς·
οὗτός γ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων.
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής·
δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος, εἴ ποτ' ἔην γε.
ὣς φάτο· τὸν δ' ὁ γέρων ἠγάσσατο φώνησέν τε·
ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενὲς, ὀλβιόδαιμον·
ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν.
ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν,
ἔνθα ἴδον πλείστους Φρύγας ἀνέρας αἰολοπώλους,
λαοὺς Ὀτρῆος καὶ Μυγδόνος ἀντιθέοιο·
οἵ ῥα τότ' ἐστρατόωντο παρ' ὄχθας Σαγγαρίοιο·
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέχθην
ἤματι τῷ ὅτε τ' ἦλθον Ἀμαζόνες ἀντιάνειραι·
ἀλλ' οὐδ' οἳ τόσοι ἦσαν, ὅσοι ἑλίκωπες Ἀχαιοί.
δεύτερον αὖτ' Ὀδυσῆα ἰδὼν ἐρέειν' ὁ γεραιός·
εἴπ' ἄγε μοι καὶ τόνδε φίλον τέκος, ὅς τις ὅδ' ἐστί·
μείων μὲν κεφαλῇ Ἀγαμέμνονος Ἀτρεΐδαο,
εὐρύτερος δ' ὤμοισιν ἰδὲ στέρνοισιν ἰδέσθαι·
τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονὶ πουλυβοτείρῃ,
αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν·
ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ,
ὅς τ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων.
τὸν δ' ἠμείβετ' ἔπειθ' Ἑλένη Διὸς ἐκγεγαυῖα·
οὗτος δ' αὖ Λαερτιάδης πολύμητις Ὀδυσσεύς,
ὃς τράφη ἐν δήμῳ Ἰθάκης κραναῆς περ ἐούσης.

[illegible]

ὃς τράφη: [illegible]

σεῦ ἕνεκ': [illegible]

ὁ μὲν οὖν τρεῖς τρόπους [illegible]

ἐπιτροχάδην: [illegible]

εἴδως παντοίους τε δόλους καὶ μήδεα πυκνά·
τὴν δ' αὖτ' ἀντήνωρ πεπνυμένος ἀντίον ηὔδα·
ὦ γύναι ἦ μάλα τοῦτο ἔπος νημερτὲς ἔειπες·
ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθε δῖος ὀδυσσεὺς
σεῦ ἕνεκ' ἀγγελίης σὺν ἀρηϊφίλῳ μενελάῳ·
τοὺς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα·
ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά·
ἀλλ' ὅτε δὴ τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν·
στάντων μὲν μενέλαος ὑπείρεχεν εὐρέας ὤμους·
ἄμφω δ' ἑζομένω· γεραρώτερος ἦεν ὀδυσσεύς·
ἀλλ' ὅτε δὴ μύθοις καὶ μήδεα πᾶσιν ὕφαινον·
ἤτοι μὲν μενέλαος ἐπιτροχάδην ἀγόρευε·
παῦρα μὲν· ἀλλὰ μάλα λιγέως· ἐπεὶ οὐ πολύμυθος·
οὐδ' ἀφαμαρτοεπής· ἦ καὶ γένει ὕστερος ἦεν·
ἀλλ' ὅτε δὴ πολύμητις ἀναΐξειεν ὀδυσσεύς·
στάσκεν· ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας·
σκῆπτρον δ' οὔτ' ὀπίσω οὔτε προπρηνὲς ἐνώμα·
ἀλλ' ἀστεμφὲς ἔχεσκεν ἀΐδρεϊ φωτὶ ἐοικώς·
φαίης κεν ζάκοτόν τέ τιν' ἔμμεναι ἄφρονά τ' αὔτως·
ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος εἵη
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν·
οὐκ ἂν ἔπειτ' ὀδυσῆΐ γ' ἐρίσσειε βροτὸς ἄλλος·
οὐ τότε γ' ὧδ' ὀδυσῆος ἀγασσάμεθ' εἶδος ἰδόντες·
τὸ τρίτον αὖτ' αἴαντα ἰδὼν ἐρέειν' ὁ γεραιός·
τίς τ' ἄρ' ὅδ' ἄλλος ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε

ἦ καὶ γένει ὕστερος ἦεν: [illegible]

ὑπαὶ δὲ ἴδεσκε: [illegible]

ἀστεμφές: [illegible]

[illegible]

οὐ τότε γ' ὧδ' ὀδυσῆος: [illegible]

ἔξοχος ἀργείων κεφαλὴν ἠδ' εὐρέας ὤμους·
τὸν δ' ἑλένη τανύπεπλος ἀμείβετο δῖα γυναικῶν·
οὗτος δ' αἴας ἐστὶ πελώριος ἕρκος ἀχαιῶν·
ἰδομενεὺς δ' ἑτέρωθεν ἐνὶ κρήτεσσι θεὸς ὣς
ἕστηκ'· ἀμφὶ δέ μιν κρητῶν ἀγοὶ ἠγερέθονται.
πολλάκι μιν ξείνισσεν ἀρηΐφιλος μενέλαος
οἴκῳ ἐν ἡμετέρῳ· ὁπότε κρήτηθεν ἵκοιτο.
νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας ἀχαιοὺς
οὕς κεν ἐΰ γνοίην· καί τ' οὔνομα μυθησαίμην·
δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν,
κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν πολυδεύκεα
αὐτοκασιγνήτω· τώ μοι μία γείνατο μήτηρ.
ἢ οὐχ ἑσπέσθην λακεδαίμονος ἐξ ἐρατεινῆς.
ἢ δεῦρο μὲν ἕποντο νέεσσ' ἔνι ποντοπόροισι·
νῦν αὖτ' οὐκ ἐθέλουσι μάχην καταδύμεναι ἀνδρῶν
αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ' ἅ μοί ἐστιν·
ὣς φάτο· τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν λακεδαίμονι αὖθι φίλῃ ἐν πατρίδι γαίῃ.
κήρυκες δ' ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια πιστὰ
ἄρνε δύω· καὶ οἶνον ἐΰφρονα καρπὸν ἀρούρης
ἀσκῷ ἐν αἰγείῳ· φέρε δὲ κρητῆρα φαεινὸν
κῆρυξ ἰδαῖος ἠδὲ χρύσεια κύπελλα.
ὤτρυνεν δὲ γέροντα παριστάμενος ἐπέεσσιν·
ὄρσεο λαομεδοντιάδη· καλέουσιν ἄριστοι
τρώων θ' ἱπποδάμων καὶ ἀχαιῶν χαλκοχιτώνων·

[illegible]

ἐσ πεδίον καταβῆναι· ἵν᾽ ὅρκια πιστὰ τάμητε·
αὐτὰρ ἀλέξανδρος καὶ ἀρηΐφιλος μενέλαος
μακρῇσ ἐγχείῃσι μαχήσοντ᾽ ἀμφὶ γυναικί·
τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ᾽ ἕποιτο·
οἳ δ᾽ ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες·
ναίοιμεν τροίην ἐριβώλακα· τοὶ δὲ νέονται
ἄργοσ ἐσ ἱππόβοτον· καὶ ἀχαιΐδα καλλιγύναικα·
ὣσ φάτο· ῥίγησεν δ᾽ ὁ γέρων· ἐκέλευσε δ᾽ ἑταίροισ
ἵππουσ ζευγνύμεναι· τοὶ δ᾽ ὀτραλέωσ ἐπίθοντο·
ἂν δ᾽ ἄρ᾽ ἔβη πρίαμοσ· κατὰ δ᾽ ἡνία τεῖνεν ὀπίσσω·
πὰρ δέ οἱ ἀντήνωρ περικαλλέα βήσετο δίφρον·
τὼ δὲ διὰ σκαιῶν πεδίον δ᾽ ἔχον ὠκέασ ἵππουσ·
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκοντο μετὰ τρῶασ καὶ ἀχαιούσ·
ἐξ ἵππων ἀποβάντεσ ἐπὶ χθόνα πουλυβότειραν
ἐσ μέσσον τρώων καὶ ἀχαιῶν ἐστιχόωντο·
ὄρνυτο δ᾽ αὐτίκ᾽ ἔπειτα ἄναξ ἀνδρῶν ἀγαμέμνων·
ἂν δ᾽ ὀδυσσεὺσ πολύμητισ· ἀτὰρ κήρυκεσ ἀγαυοὶ
ὅρκια πιστὰ θεῶν σύναγον· κρητῆρι δὲ οἶνον
μίσγον· ἀτὰρ βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρασ ἔχευαν·
ἀτρεΐδησ δὲ ἐρυσσάμενοσ χείρεσσι μάχαιραν
ἥ οἱ πὰρ ξίφεοσ μέγα κουλεὸν αἰὲν ἄωρτο·
ἀρνῶν ἐκ κεφαλέων τάμνε τρίχασ· αὐτὰρ ἔπειτα
κήρυκεσ τρώων καὶ ἀχαιῶν νεῖμαν ἀρίστοισ·
τοῖσιν δ᾽ ἀτρεΐδησ μεγάλ᾽ εὔχετο χεῖρασ ἀνασχών·
ζεῦ πάτερ ἴδηθεν μεδέων· κύδιστε μέγιστε·

ναίοιμεν: [illegible]
ῥίγησεν: [illegible]
τὼ δὲ διὰ σκαιῶν: [illegible]

μίσγον: [illegible]
μάχαιραν: [illegible]
ἄωρτο: [illegible]
ἀρνῶν ἐκ κεφαλέων: [illegible]
ζεῦ πάτερ ἴδηθεν: [illegible]

ἀνθρώπους τίνυσθον: προσκείμενον ὅτι ἐκ τοῦ δυϊκοῦ γραφέντος τὸ τίνυσθον ἐλέγχεται ὅτι ἐστι περὶ ... καὶ πλούτωνος ... οὐκέτι τῶν νεκρῶν:— Ἐπίορκον: οὕτως προπαροξυτόνως ... τὸ ὄνομα ... τὸ πρᾶγμα οὐδὲ ἐπιόρκως προσθεῖ μόνα:— ὑμεῖς μάρτυροι ἔστε: ὅτι ζηνόδοτος γράφει μάρτυρες. ὁ μὲν ... μάρτυρος κατὰ τὸ ἐνικὸν λέγει ... μάρτυρος ... οὗ πληθυντικὸν ... τὸ μάρτυροι· παροξύνεται δὲ τὸ ... προστακτικὸν ... φυλάσσετε ... προστακτικὰ ... πληθυντικὰ ... καὶ προστακτικὰ ... ὑπάρχει ... οἷον λέγετε ὅτι λέγετε ... :—

Ἠέλιος θ᾽· ὅτι ἀντὶ τοῦ ἥλιε ὡς ... φίλος· καὶ ... καὶ οὐχ πρὸς τὴν ... τῶν ... ὑπερίονι ... περὶ τῆς ... πάντας ἐφορῶντι:—

τιμὴν δ᾽ ἀργείοις: ὅτι τιμὴν τὸ ἐπιτίμιον λέγει ὃ πολλάκις λέγει ποινήν:—

ἦ καὶ ἀπὸ στομάχους: οὕτως αἱ ἀριστάρχου ἀπὸ στομάχους· αἱ δὲ πλείους διὰ τοῦ ... καὶ ... ἡ γραφή:—

ὧδε δέ τις εἴπεσκεν: ὅτι τὸ ὧδε οὐδέποτε τοπικῶς ... :—

※ Ἠέλιός θ᾽, ὃς πάντ᾽ ἐφορᾷς καὶ πάντ᾽ ἐπακούεις·

※ καὶ ποταμοὶ· καὶ γαῖα· καὶ οἳ ὑπένερθε καμόντας

※ ἀνθρώπους τίνυσθον, ὅτις κ᾽ ἐπίορκον ὀμόσσῃ.

※ ὑμεῖς μάρτυροι ἔστε· φυλάσσετε δ᾽ ὅρκια πιστά·

εἰ μέν κεν μενέλαον ἀλέξανδρος καταπέφνῃ.

αὐτὸς ἔπειθ᾽ ἑλένην ἐχέτω καὶ κτήματα πάντα·

ἡμεῖς δ᾽ ἐν νήεσσι νεώμεθα ποντοπόροισιν·

εἰ δέ κ᾽ ἀλέξανδρον κτείνῃ ξανθὸς μενέλαος,

τρῶας ἔπειθ᾽ ἑλένην καὶ κτήματα πάντ᾽ ἀποδοῦναι.

ἀντὶ τοῦ τρῶες ἀποδότωσαν:— ※ τιμὴν δ᾽ ἀργείοις ἀποτινέμεν ἥν τιν᾽ ἔοικεν·

ἥ τε καὶ ἐσσομένοισι μετ᾽ ἀνθρώποισι πέληται·

εἰ δ᾽ ἂν ἐμοὶ τιμὴν πρίαμος πριάμοιό τε παῖδες

τίνειν οὐκ ἐθέλωσιν ἀλεξάνδροιο πεσόντος,

οὐ διὰ τοῦ ἦ τὸ μαχήσομαι ἀρίσταρχος — αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς

αὖθι μένων, ἧός κε τέλος πολέμοιο κιχείω·

ἦ· καὶ ἀπὸ στομάχους ἀρνῶν τάμε νηλέϊ χαλκῷ.

καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας·

θυμοῦ δευομένους· ἀπὸ γὰρ μένος εἵλετο χαλκός·

ἀρίσταρχος ἀφυσσόμενοι διὰ τοῦ ο — οἶνον δ᾽ ἐκ κρητῆρος ἀφυσσάμενοι δεπάεσσιν

ἔκχεον· ἠδ᾽ εὔχοντο θεοῖς αἰειγενέτῃσιν·

※ ὧδε δέ τις εἴπεσκεν ἀχαιῶν τε τρώων τε·

ζεῦ κύδιστε μέγιστε· καὶ ἀθάνατοι θεοὶ ἄλλοι.

ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν.

ὧδέ σφ᾽ ἐγκέφαλος χαμάδις ῥέοι, ὡς ὅδε οἶνος.

αὐτῶν καὶ τεκέων· ἄλοχοι δ᾽ ἄλλοισι δαμεῖεν·

† ἂψ ἐπεί· βραχὺ διασταλτέον ἐπὶ τὸ ἄψ διὰ τὸν λόγον· ὁ γὰρ ἐπεὶ σύνδεσμος ὥσπερ τὰ ἑξῆς συνδέων ὑποτάσσεται ἀπὸ τοῦ μὲν ... ὁρᾶσθαι: παθητικὸν ἀντὶ ἐνεργητικοῦ· ἀνακέκραται δὲ ἡ περίοδος ὀρθῶς δ' ἂν εἴη· ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον. Ζεὺς μέν που τό γε οἶδεν. ὥσπερ τὴν πόλιν ὁ Πρίαμος τοὺς ἄρνας τεθνημένους ἔχων ἄπεισιν ἵνα αὐτοῖς περιστείλῃ ... ἐπὶ τοῖς ὅρκιοις γινόμενα ἱερεῖα τοῖς μὲν ἐγχωρίοις γῇ περιστέλλεται τοῖς δὲ ἐπήλυσιν εἰς ἅλα ... θάλασσαν ἐμβάλλειν:-

Ζεὺς μέν που· βραχὺ διασταλτέον ἐπὶ τὸ ἄλλοι· ἀνακέκραται γὰρ ἡ περίοδος†

ὣς ἔφαν· οὐδ' ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων.
τοῖσι δὲ Δαρδανίδης Πρίαμος μετὰ μῦθον ἔειπε·
κέκλυτέ μευ Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί·
ἤτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν
ἄψ· ἐπεὶ οὔ πω τλήσομ' ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι
μαρνάμενον φίλον υἱὸν ἀρηϊφίλῳ Μενελάῳ·
Ζεὺς μέν που τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι.
ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν.
ἦ ῥα καὶ ἐς δίφρον ἄρνας θέτο ἰσόθεος φώς·
ἂν δ' ἄρ' ἔβαιν' αὐτός. κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω·
πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσετο δίφρον·
τὼ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο.
Ἕκτωρ δὲ Πριάμοιο πάϊς καὶ δῖος Ὀδυσσεύς.
χῶρον μὲν πρῶτον διεμέτρεον· αὐτὰρ ἔπειτα
κλήρους ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες.
ὁππότερος δὴ πρόσθεν ἀφείη χάλκεον ἔγχος.
λαοὶ δ' ἠρήσαντο θεοῖσι δὲ χεῖρας ἀνέσχον·
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε·
Ζεῦ πάτερ Ἴδηθεν μεδέων. κύδιστε μέγιστε·
ὁππότερος τάδε ἔργα μετ' ἀμφοτέροισιν ἔθηκεν.
τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϊδος εἴσω·
ἡμῖν δ' αὖ φιλότητα καὶ ὅρκια πιστὰ γενέσθαι.
ὣς ἄρ' ἔφαν. πάλλεν δὲ μέγας κορυθαίολος Ἕκτωρ
ἂψ ὁρόων. Πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσεν.
οἱ μὲν ἔπειθ' ἵζοντο κατὰ στίχας. ἧχι ἑκάστῳ

† ἦ ῥα καὶ ἐς δίφρον: τὰ γὰρ ἐν ὁρκίοις σφαζόμενα οἱ μὲν ἐγχώριοι ἔκρυπτον τῇ γῇ· οἱ δὲ ξένοι θαλάσσῃ ἢ ποταμῷ ἀπέφερον· τοῖς ἐν ἀγορᾷ πιπρασκομένοις καὶ κρεῖσσον ... διδάσκων· τὰ δὲ θεοῖς ἁπλῶς θυόμενα ἐσθίομεν· ἐχρῶντο γὰρ ὥσπερ συνεστίοις τοῖς θεοῖς:-

ἄψορροι· διὰ τί χωρίζεται ὁ Πρίαμος καὶ οἱ μὲν φασὶν ὅτι ἵνα ἀφυλάκτως κρείσσον θεωρῇ ἀπὸ τῆς πόλεως τὴν μονομαχίαν· οἱ δὲ ἵνα φυλάξῃ τὰ τείχη· ἄλλοι δὲ τῶν ὁμηρικῶν προΐσχονται τὸ οὔ πω τλήσομ' ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι ὅπερ ἀληθές ἐστιν:-

Πριάμοιο πάϊς· Πορφύριος ἐν τοῖς παραλελειμμένοις φησὶν ὅτι τὸν Ἕκτορα Ἀπόλλωνος υἱὸν παραδιδόασιν ἵνα ... ἀλεξάνδρου ...†

χῶρον μὲν πρῶτον: ἀμφότεροι διεμέτρουν τὸ χωρίον ἐν ᾧ ἤμελλον μονομαχεῖν, ὥστε μὴ μόνον τοῦ ὅπλου κινηθῆναι ἀλλὰ καὶ τὸ μὴ ἀπολείπονται τὸ ἀποδεδειγμένον χωρίον ἀλλὰ καὶ ἐπὶ τῶν ἀνθρώπων· ἄλλοι δέ φασιν ὅτι ἵνα μὴ πρὸς αὐτοὺς πλήθη χωρήσωσιν, ἀλλ' ὥσπερ ἐν εἱρκτῇ τῇ περιγραφῇ μένωσιν:—

αὐτὰρ ἔπειτα κλήρους: μετὰ ταῦτα δὲ ὄντως καὶ κλῆρον ἐποιήσαντο περὶ τῆς ἀφέσεως τοῦ δόρατος ὥστε μὴ θόρυβον ἐμπεσεῖν τοῦ ἑτέρου φθάσαντος διὰ τῆς προτιμήσεως ἄρξαι τὸν πόλεμον· ἐπὶ φοιδεῖ μὲν ἦσαν οἱ κλῆροι· ἐσφραγίζοντο ἕκαστος ὅσοις οὕτως ὀνομάσαντο διὰ τὸ κατὰ ... ἔρις ὑπὸ τῶν ... πράξεις· χαλκήρεϊ· προπαροξυτόνως· ἔστι γὰρ παρὰ τὸ ... τὸ εὐθύ ... ἔλκεται ἐπὶ τούτου καὶ διὰ τοῦτο ἡ σύνθεσις γένοιτο καὶ ὀξύτονος ἔστιν· ἔχει δὲ ... μαρτυρ...

λαοὶ δ' ἠρήσαντο· ὅταν εἴπῃ ἠρήσαντο αἰτούμενοι φησὶν ὅτι καὶ ὀρθῶς ἀρὰς ... εὐχόμενοι ... θεοῖς ἀνατείναντες τὰς χεῖρας· διαστίζει ... θεοῖς καὶ τὸ δὲ ἀντὶ τοῦ καί:- Πάριος δέ: Πάρις ὁ Ἀλέξανδρος ... ὅτι ἔκτεθῆναι αὐτὸν ἐν τῇ Ἴδῃ ἀλλὰ τεχθέντα καὶ αὐξηθέντα παρ' ἐλθὼν τὸν μόρον ... κατασπαρὲν αὐτὸν ἔχουσα ἡ Ἑκάβη ἐνόμισε κατ' ὄναρ καιόμενον δαλὸν τίκτειν ὅστις κατέφλεξε πᾶσαν τὴν πόλιν καὶ τὴν Ἴδην ... τοῦτο τὸ ἐνύπνιον ἀκούσαντες οἱ μάντεις οἱ περὶ τὸν Αἴσακον ... τὸ τεχθὲν παιδίον ... ἐπὶ Ἴδης ... τεχθέντα δὲ τὸν Ἀλέξανδρον ... ἐν τῇ Ἴδῃ ... ποιμὴν ... ἀνέθρεψεν. Πορφύριος φησὶν ἱστορεῖν τὸν γράψαντα τὰ ... Πάριν ... ἀρχαίας ἐκαλεῖτο†

+ ἵπποι ἀερσίποδες· αἴροντας ἔχοντες τοὺς πόδας ταχέως· γραφικῶς δὲ εἶπε τύπος κεῖται(?) τοῦτο· τοιοῦτοι γὰρ οἱ κοσμούμενοι τοῦ πολέμου(?) ἵπποι· καὶ ἔστιν ἰδίωμα· παρὰ τὸ ἀείρω ἀέρω ἀέρσω ἀερσίπους +

ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχε' ἔκειτο·
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισιν ἐδύσετο τεύχεα καλὰ
δῖος Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο·
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
καλάς. ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
οἷο κασιγνήτοιο Λυκάονος· ἥρμοσε δ' αὐτῷ·
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ' ἄλκιμον ἔγχος ὅ οἱ παλάμηφιν ἀρήρει·
ὣς δ' αὔτως Μενέλαος ἀρήϊος ἔντε' ἔδυνεν·
οἳ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν.
ἐς μέσσον Τρώων καὶ Ἀχαιῶν ἐστιχόωντο
δεινὸν δερκόμενοι· θάμβος δ' ἔχεν εἰσορόωντας
Τρῶάς θ' ἱπποδάμους καὶ ἐϋκνήμιδας Ἀχαιούς·
καί ῥ' ἐγγὺς στήτην διαμετρητῷ ἐνὶ χώρῳ
σείοντ' ἐγχείας ἀλλήλοισιν κοτέοντε·
πρόσθε δ' Ἀλέξανδρος προΐει δολιχόσκιον ἔγχος·
καὶ βάλεν Ἀτρεΐδαο κατ' ἀσπίδα πάντοσ' ἐΐσην.
οὐδ' ἔρρηξεν χαλκός· ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀσπίδ' ἐνὶ κρατερῇ· ὁ δὲ δεύτερος ὄρνυτο χαλκῷ
Ἀτρεΐδης Μενέλαος ἐπευξάμενος Διὶ πατρί·
Ζεῦ ἄνα, δὸς τίσασθαι ὅ με πρότερος κάκ' ἔοργε

ἀμφὶ δ' ἄρ' ὤμοισιν· ὅτι Ζηνόδοτος ἀμφιτέθειτο(?) ἡ θέσις κεῖται· καὶ μετὰ τὸν οἷο κασιγνήτοιο ὑποτάσσει· κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν· εἵλετο δ' ἄλκιμον ἔγχος:—

ἀμφὶ δ' ἄρ' ὤμοισι· καλῶς ἀσπίδα τε σάκος εἴρηκεν· ὡς φησιν ἀντίος τῷ Ὁμηρικῷ ὁ πλησιασμὸς ἔχειν [illegible] ἀσπίδος γὰρ φανήσεται ἀναγκαῖον [illegible] περικεφαλαίαν καὶ ξίφος μηχ[illegible]

ὣς δ' αὔτως Μενέλαος· ὁ ποῦ τὸ ξίφος ἔχει εἰ δὲ ὡς αὐτὸς τῷ Ἀλεξάνδρῳ καθοπλίζεται· πάντως κἀκεῖνος εἶχε ξίφος· [illegible] ἀναφορὰ ἀπὸ Ζηνοδότου:—

διαμετρητῷ· Ἀρίσταρχος περισπᾷ· καὶ οἱ ἄλλοι καὶ οὕτως ἔχει ἡ παράδοσις· καὶ ἔστιν παρασύνθετον· τὸ γὰρ ῥῆμα συντέθειται· ἐν τῷ χώρῳ μὲν περιδιεμέτρευον:—

ἔντεα· ὅπλα· εἴρηται δὲ ἀπὸ τοῦ ἐνὸς [illegible] σκέπη τὸ σῶμα [illegible] καὶ τὰ προσαγωγὰ [illegible] ὡς ἐκεῖ μνηστῆρες [illegible]:—

οὕτως ἀναγνωστέον διὰ τοῦ σ γράφειν· καὶ γὰρ ὕστερον φησὶν ὁ δὲ δεύτερος ὄρνυτο χαλκῷ· ἀντὶ τοῦ τῷ δόρατι· καὶ τὸ μὲν τῆς τύχης ἔχειν· τὸ δὲ τῆς ἰσχύος ἀφαιρεῖν:—

[illegible]

δῖον ἀλέξανδρον· καὶ ἐμῇς ὑπὸ χερσὶ δάμασσον·
ὄφρα τις ἐρρίγῃσι καὶ ὀψιγόνων ἀνθρώπων
ξεινοδόκον κακὰ ῥέξαι· ὅ κεν φιλότητα παράσχῃ.
ἦ ῥα· καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
καὶ βάλε πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐΐσην·
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος·
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος· ὁ δ' ἐκλίνθη· καὶ ἀλεύατο κῆρα μέλαιναν·
ἀτρείδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
πλῆξεν ἀνασχόμενος κόρυθος φάλον· ἀμφὶ δ' ἄρ' αὐτῷ
τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός·
ἀτρείδης δ' ᾤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
ζεῦ πάτερ οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
ἦ τ' ἐφάμην τίσασθαι ἀλέξανδρον κακότητος·
νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος· ἐκ δέ μοι ἔγχος
ἠΐχθη παλάμηφιν ἐτώσιον· οὐδ' ἔβαλόν μιν.
ἦ καὶ ἐπαΐξας κόρυθος λάβεν ἱπποδασείης·
ἕλκε δ' ἐπιστρέψας μετ' ἐϋκνήμιδας ἀχαιούς·
ἄγχε δέ μιν πολύκεστος ἱμὰς ἁπαλὴν ὑπὸ δειρήν·
ὅς οἱ ὑπ' ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης·
καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος·
εἰ μὴ ἄρ' ὀξὺ νόησε διὸς θυγάτηρ ἀφροδίτη
ἥ οἱ ῥῆξεν ἱμάντα βοὸς ἶφι κταμένοιο·
κεινὴ δὲ τρυφάλεια ἅμ' ἕσπετο χειρὶ παχείῃ.

[illegible]

τὴν μὲν ἔπειθ' ἥρως μετ' ἐϋκνήμιδας ἀχαιοὺς
ῥῖψ' ἐπιδινήσας· κόμισαν δ' ἐρίηρες ἑταῖροι·
αὐτὰρ ὃ ἂψ ἐπόρουσε· κατακτάμεναι μενεαίνων·
ἔγχεϊ χαλκείῳ· τὸν δ' ἐξήρπαξ' ἀφροδίτη
ῥεῖα μάλ' ὥς τε θεός· ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ·
κὰδ δ' εἷσ' ἐν θαλάμῳ εὐώδεϊ κηώεντι·
αὐτὴ δ' αὖθ' ἑλένην καλέουσ' ἴε· τὴν δ' ἐκίχανε
πύργῳ ἐφ' ὑψηλῷ· περὶ δὲ τρῳαὶ ἅλις ἦσαν·
χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦσα·
γρηῒ δέ μιν εἰκυῖα παλαιγενέϊ προσέειπεν
εἰροκόμῳ· ἥ οἱ λακεδαίμονι ναιεταώσῃ
ἤσκειν εἴρια καλά, μάλιστα δέ μιν φιλέεσκε·
τῇ μιν ἐεισαμένη προσεφώνεε δῖ' ἀφροδίτη·
δεῦρ' ἴθ'· ἀλέξανδρός σε καλεῖ οἶκον δὲ νέεσθαι·
κεῖνος ὅ γ' ἐν θαλάμῳ καὶ δινωτοῖσι λέχεσσι
κάλλεΐ τε στίλβων καὶ εἵμασιν· οὐδέ κε φαίης
ἀνδρὶ μαχεσσάμενον τόν γ' ἐλθεῖν· ἀλλὰ χορὸν δὲ
ἔρχεσθ', ἠὲ χοροῖο νέον λήγοντα καθίζειν·
ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
καί ῥ' ὡς οὖν ἐνόησε θεᾶς περικαλλέα δειρὴν
στήθεά θ' ἱμερόεντα· καὶ ὄμματα μαρμαίροντα·
θάμβησέν τ' ἄρ' ἔπειτα ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
δαιμονίη· τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν·
ἦ πῄ με προτέρω πολίων εὖ ναιομενάων
ἄξεις· ἢ φρυγίης ἢ μῃονίης ἐρατεινῆς·

+ ναιεταώσῃ: ναιομένῃ· καὶ ὡς κυνηγέτης κυνηγός, οὕτως ναιέτης ναιετῶ ναιετάσω ... ναιεταώσῃ· καὶ ὁμοίως τὸ ἱδρώσας [illegible]:—

δεῦρ' ἴθι: στικτέον μετὰ τὸ ἴθι· αὐτοτελὲς γὰρ καὶ ἀσύνδετον πρὸς τὰ ἑξῆς· καὶ κατὰ τέλος τοῦ στίχου στικτέον τελείαν:—

δινωτοῖσι λέχεσσιν: ὅτι δινωτὰ λέγει ἤτοι διὰ τὸ τετορνεῦσθαι τὸ ξύλον ἢ διὰ τὴν ἔνθεσιν τῶν ἱμάντων περιτιθέντων· γὰρ [illegible] τὰ διὰ τῶν ἱμάντων πλοκή:—

οὐδέ κε φαίης: ὅτι ὁ ἀστερίσκος λέγει μὴ ὑποκειμένου προσώπου, ἀντὶ τοῦ φαίη τις ἄν:—

ἀστερίσκος βραχεῖα ἐπιτοελ[illegible] κοινῶς [illegible] οὐδέ κε φαίης:

ἐνὶ στήθεσσιν ὄρινε: ὅτι οὐ διὰ τὸ ἀκοῦσαι μόνον τὸν θυμὸν ὄρινεν τὸν ἑλένης, ἀλλὰ τὸ παρὸν ἐφορμηθὲν ... [illegible] ... καί ῥ' ὡς οὖν ἐνόησεν, ὡς δὲ ἔφατ' ἐν [illegible] ἔλεγεν αἰτ[illegible] παραγενεῖ εἰκασμένη περικαλλέα δ' εἶχεν καὶ ὄμματα μαρμαίροντα καὶ στήθεα ἱμερόεντα· καὶ [illegible] τὸ πρόσωπον [illegible] ἦσθα παρ' αὐτὸν [illegible] θεὸν δὲ ἀπὸ [illegible] μὲν δεῖ σοι [illegible] καὶ εὐτελὴς κατ' αὐτὴν διάνοιαν μὲν μὴ εὑρεθεῖσα [illegible] αὐτὸν καὶ τῆς σωτηρίας γινομένης οὕτως ὡς ἔφατο τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε. [illegible] κατασχομένη [illegible] πᾶσας δὲ [illegible] ἤρχθη [illegible] ἐνταῦθα γὰρ τὸ πῇ οὐ [illegible] ἀλλαχοῦ

ἦ πῄ με: τὸ μὴ σύνδεσμον περισπαστέον· τὸ μὲν δὲ πῇ ὀξυτονητέον διὰ τὸ μὴ [illegible] ... οἱ λυδοὶ τὸ παλαιὸν ἐκαλοῦντο ἀπὸ λυδοῦ τοῦ ἄτυος [illegible] ῥίψαι +

μῃονίης: μῃονὶ ὀνομαζομένους ἐκάλουν τοὺς οἱ λυδοὶ τὸ παλαιόν

οὕνεκα δὴ νῦν δῖον ἀλέξανδρον: ἀπάλλησ' ἀρίσταρχος τὸ νικήσας ἀσύνδετος γὰρ πρὸς τὰ ἑξῆς ὁ λόγος. ἐπιεικέστερον δὲ ἐν ὑπερβολῇ ἀφ' ἑαυτῆς ἐπὶ τὸ ἐναντίον ... καὶ ταῦτα οὕνεκα τοὔνεκα ✝ ἧσο παρ' αὐτὸν ἰοῦσα: ἀρίσταρχος ἀπόεικε κελεύθου καὶ ἐν τοῖς κελεύθου· θαυμάζεσθαι ἄξιος ... τὸ τῶν παρέδου οὕτω γὰρ ἐν ταῖς ἀριστάρχου ... τὸ ἐν γοῦν μετρίοις ἐμφερόμενον πέφυκεν καὶ οὐ μόνον ἐν ταῖς ἐκδόσεσιν ... ἅπαξ ἀπαντᾷ οὕτως ἐκ τίθενται προσθήσει μοι δοκοῖ ... τὴν ἀριστάρχου λέξιν οὕτως ἐχούσαν· τί δὲ εἰ ... θεῶν ὁ λοῦ εἶκε καὶ παρ' ... καθίζουσα αὐτοῖς ✝

ἀρίσταρχος μετὰ τοῦ ἢ καὶ κεῖθι

— ἤ πού τοι καὶ κεῖθι φίλος μερόπων ἀνθρώπων· (πεποίηται ... ἀνεστραπται παρ' ὁ ...)

— οὕνεκα δὴ νῦν δῖον ἀλέξανδρον μενέλαος

— νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδ' ἄγεσθαι·

— τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης

— ἧσο παρ' αὐτὸν ἰοῦσα· θεῶν δ' ἀπόειπε κελεύθους (ἀρίσταρχος κελεύθου)

— μηδ' ἔτι σοῖσι πόδεσσιν ὑποστρέψειας ὄλυμπον·

— ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε, καί ἑ φύλασσε,

— εἰς ὅ κέ σ' ἢ ἄλοχον ποιήσεται ἢ ὅ γε δούλην·

— κεῖσε δ' ἐγὼν οὐκ εἶμι· νεμεσσητὸν δέ κεν εἴη. (τὸ ἑξῆς κεῖσε δὲ ἐγὼ οὐκ εἶμι κείνου πορσανέουσα λέχει)

— κείνου πορσανέουσα λέχος· Τρῳαὶ δέ μ' ὀπίσσω

— πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.

— Τὴν δὲ χολωσαμένη προσεφώνεε δῖ' ἀφροδίτη·

⁜ — μή μ' ἔρεθε σχετλίη, μὴ χωσαμένη σε μεθείω· (μετὼνυμικῶς ἀντὶ τοῦ ἐάσω ... ποιήσω καὶ ...)

(ἀρίσταρχος ... ἔκπαγλα φίλησα) — τὼς δέ σ' ἀπεχθήρω, ὡς νῦν ἔκπαγλ' ἐφίλησα·

— μέσσῳ δ' ἀμφοτέρων μητίσομαι ἔχθεα λυγρὰ

— Τρώων καὶ Δαναῶν· σὺ δέ κεν κακὸν οἶτον ὄληαι.

— Ὣς ἔφατ'· ἔδδεισεν δ' ἑλένη διὸς ἐκγεγαυῖα·

βῆ δὲ κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ

σιγῇ· πάσας δὲ Τρῳὰς λάθεν· ἦρχε δὲ δαίμων.

αἱ δ' ὅτ' ἀλεξάνδροιο δόμον περικαλλέ' ἵκοντο,

ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο·

※ ἡ δ' εἰς ὑψόροφον θάλαμον κίε δῖα γυναικῶν.

※ τῇ δ' ἄρα δίφρον ἑλοῦσα φιλομμειδὴς ἀφροδίτη

※ ἀντί' ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα·

※ ἔνθα κάθιζ' ἑλένη κούρη διὸς αἰγιόχοιο

μή μ' ἔρεθε σχετλίη: ... σχετλίη μεθείω ἀπεχθήρω ... ἐφίλησα ... μητίσομαι ὁρισμὸν ... καὶ ... ἵνα ... τὸ μὴ ... μεθείω ... — ἔχθεα: ... ἀριστάρχου ... ἄλγεα ... γεγράφθαι: —

ἡ δ' εἰς ὑψόροφον: ἀπὸ τούτου ... κάθιζ' ἑλένη στίχοι τέσσαρες παράκεινται ... ὅτι ζηνόδοτος μετατίθησι ... ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο· αὐτὴ δ' ἀντίον ἷζεν ἀλεξάνδροιο ἄνακτος ὄσσε πάλιν κλίνασα πόσιν δ' ἠνίπαπε μύθῳ. ... τῇ ἑλένῃ τὴν ἀφροδίτην δίφρον ... ἀπρεπὲς ... ταύτῃ τῇ μορφῇ τὰ προσήκοντα ... —

— φιλομμειδής: τὰ γὰρ ἀφροδίσια μὴ πως ἀπηχθάνετο ... ὁ τοῦ γὰρ ... θεῶν: —

ἔνθα κάθιζ': ... καὶ προπαροξύνεται τὸ κάθιζε ... ταῦτα ... τὸν τόνον ... κάθιζε ... ἐβίζετ'

† ἐκ πολέμου: παραφαινομένοις τισὶ σκληροῖς ἐν τοῖς πολέμοις διὰ τῶν ὑποκειμένων ... καὶ τὸ ἐξῆς ἀπὸ κοινοῦ φησίν.
Νήσῳ δ' ἐν Κρανάῃ: ἐκ τοῦ κεῖσθαι ... ἐμίγην τῇ εὐνῇ ἤγουν περιφανῆς γένηται καὶ ... ἄδηλον πότερον ὄνομα κύριον· ἀπὸ τῆς κραναῆς ἐναντίως πρὸ τοῦ γάμου καὶ τολμῶσι τὸν Ἀλέξανδρον καὶ τῆς εὐνῆς ... τὴν τραχεῖαν· τὴν γὰρ τὴν λεγομένην εὐνήν, πρὸς ἣν ... ἀπὸ τῆς εὐνῆς ... ταύτῃ πρώτῃ ἐσχεῖν:-

ἀλλ' ἴθι νῦν· ἀπὸ τοῦ τέως ... ἀφραδέως ἀλλοιοῦται αἰσχοῖ ... ὅτι ... τοῖς ὀνόμασι ... καὶ ἀκαταλλήλοι ἅμα μὲν γὰρ λέγει ἀλλ' ἴθι προκάλεσσαι καὶ κατὰ τὸ συνεχὲς ἐπιφέρει ἀλλά σ' ἔγωγε παύσασθαι κέλομαι ὡς φέρειν ἐξῆς:-
Παύεσθαι κέλομαι: αἰτιατικὴ ... τὸ κέλομαι· τὸ γὰρ ἐξῆς ἀπαρέμφατα ἀντὶ προστακτικῶν· πολεμίζειν καὶ μάχεσθαι· ... διαστέλλειν ... τὸ κέλομαι ὄντα ἀπαρέμφατα:- ††† πάρα γὰρ θεοί εἰσι.
ἐξ ... τὴν παρὰ πρὸ κατὰ ἀρχὴν σὰν ... καὶ τροφὴ ... διαλέγεται ... παράφρασιν ... πρὸ ὅταν καὶ διάμοιρον ... πρὸ τὰ ἐπιφερόμενα φυλάσσουσι τόνον καὶ κατὰ τὴν ... καταλείπει ... ἀναδιδόμενον ... καὶ τὴν παρὰ ἐνταῦθα ... ἐπιφερόμενον συντάσσεται. φυλάσσεσθαι τὸν τόνον προσποιεῖσθαι ὑπάρχει ... μὲν ... ἐπιθέντο καὶ ἐν τῇ ἰσότητι φυλάσσει καὶ ... τοῦ τόνου τὴν προθέσεων ... οὐ γάρ ποτε πρὸ τοῦ ἐπὶ τὸ ... τὸν τόνον· τὸ δὲ πάρα φασὶ ... ἐντεῦθεν καὶ τὸ καταδιαλύσιν ...:-
Οὐδ' ὅτε σε πρῶτον Ἀλέξανδρος ... πελαγίας ... καὶ πα... ἐπὶ Κραναοῦ ... Ἀφροδίτη ἐπὶ ... ἁρμονίδου ... κατὰ τὴν ... τῆς Ἀφροδίτης ... Λακεδαίμονα τοῦ Μενελάου ... τὴν Ἑλένην ... Ἀφροδίτη ... Ἑλένην ... χρήμασι ... εἰς Σιδῶνα τῆς Φοινίκης καὶ ἐκεῖ γάμον συνουσίαν ποιησάμενος ... μετὰ ... ἔκτοτε ... συνθήκης ἀδικίας. ... Ἀφροδίτης ... παρειληφὼς ... ὁ ποιητής ...:- ††† ὥς σεο νῦν ἔραμαι: ... ὡς σεῦ μου ἔραμαι ... πρόσωπον ... ὡς ... ἀντὶ τοῦ ... ἐπὶ τὸ ... τὸ δὲ ὡς ... ἀντὶ τοῦ ... ἐστι τὸ ... τὸ ὡς σεῦ νῦν ἔραμαι ... τὸ δὲ ... οὐδέποτε γὰρ ... ἔρως ὡς νῦν ... τὸ δὲ ... οὐδ' ὅτε τὸ ἀρχῆθεν ἁρπάσας καὶ ἐν τῇ νήσῳ ἐμίγην ... ἔρως οὐδ' ὅτε ... τὸ ἐξῆς:-

ὄσσε πάλιν κλίνασα· πόσιν δ' ἠνίπαπε μύθοις·
ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι
ἀνδρὶ δαμεὶς κρατερῷ, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηϊφίλου Μενελάου
σῇ τε βίῃ καὶ χερσὶ καὶ ἔγχει φέρτερος εἶναι·
— ἀλλ' ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
— ἐξαῦτις μαχέσασθαι ἐναντίον· ἀλλά σ' ἔγωγε
— παύσασθαι κέλομαι· μηδὲ ξανθῷ Μενελάῳ
— ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
— ἀφραδέως, μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήῃς.
τὴν δὲ Πάρις μύθοισιν ἀμειβόμενος προσέειπε·
μή με γύναι χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε·
νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ,
κεῖνον δ' αὖτις ἐγώ· πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν.
ἀλλ' ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
οὐ γάρ πώ ποτέ μ' ὧδέ γ' ἔρως φρένας ἀμφεκάλυψεν,
οὐδ' ὅτε σε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς
ἔπλεον ἁρπάξας ἐν ποντοπόροισι νέεσσι,
> νήσῳ δ' ἐν Κρανάῃ ἐμίγην φιλότητι καὶ εὐνῇ,
ὥς σεο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
ἦ ῥα, καὶ ἄρχε λέχοσδε κιών· ἅμα δ' εἵπετ' ἄκοιτις.
τὼ μὲν ἄρ' ἐν τρητοῖσι κατεύνασθεν λεχέεσσιν·
Ἀτρεΐδης δ' ἀν' ὅμιλον ἐφοίτα θηρὶ ἐοικώς,
εἴ που ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα.
ἀλλ' οὔ τις δύνατο Τρώων κλειτῶν τ' ἐπικούρων

Δέλτα δ' ἀγορήν· ὅρκων χύσιν· Ἄρεος ἀρχήν·

[illegible]

δεῖξαι ἀλέξανδρον τότ' ἀρηϊφίλωι μενελάωι·
οὐ μὲν γὰρ φιλότητί γ' ἐκεύθανον εἴ τις ἴδοιτο·
ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνηι·
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν ἀγαμέμνων·
κέκλυτέ μευ τρῶες καὶ δάρδανοι ἠδ' ἐπίκουροι·
νίκη μὲν δὴ φαίνετ' ἀρηϊφίλου μενελάου·
ὑμεῖς δ' ἀργείην ἑλένην καὶ κτήματ' ἅμ' αὐτῆι
ἔκδοτε· καὶ τιμὴν ἀποτινέμεν ἥν τιν' ἔοικεν·
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται·
ὣς ἔφατ' ἀτρεΐδης· ἐπὶ δ' ἤινεον ἄλλοι ἀχαιοί·

[illegible]

Γ

ΙΛΙΑΔΟΣ Δ

Οἱ δὲ θεοὶ πὰρ ζηνὶ καθήμενοι ἠγορόωντο
χρυσέωι ἐν δαπέδωι· μετὰ δέ σφισι πότνια ἥβη
νέκταρ ἐωινοχόει· τοὶ δὲ χρυσέοις δεπάεσσι
δειδέχατ' ἀλλήλους· τρώων πόλιν εἰσορόωντες·
αὐτίκ' ἐπειρᾶτο κρονίδης ἐρεθιζέμεν ἥρην
κερτομίοις ἐπέεσσι· παραβλήδην ἀγορεύων·
δοιαὶ μὲν μενελάωι ἀρηγόνες εἰσὶ θεάων·
ἥρη τ' ἀργείη καὶ ἀλαλκομενηῒς ἀθήνη·

[illegible]

Χρυσέωι ἐν δαπέδωι· [illegible]

[illegible]